Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Θεὸς Κύριος

ἦχος δ΄

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

∴ Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

∴ Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

∴ Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Ἰωάννου Πρωτοψάλτου	Χρυσοστόμου μοναχοῦ
Κωνσταντίνου Πρίγγου	Γαβριήλ Κουντιάδου

Ἀπολυτίκια

τῆς ἁγίας

Ταχὺ προκατάλαβε ἦχος δ΄

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοι· καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ᾽ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Κωνσταντίνου Παπαγιάννη

τῆς ἑορτῆς

ἦχος α΄

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα..

Στεφάνου Λαμπαδαρίου	Παναγιώτου Κηλτζανίδου	Χρυσοστόμου μοναχοῦ
Κωνσταντίνου Πρίγγου	Θρασυβούλου Στανίτσα	Κωνσταντίνου Παπαγιάννη

Συναπτὴ

Ἔτι καὶ ἔτι...	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον...	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου...	Σοί, Κύριε.
Ὅτι σὸν τὸ κράτος...	Ἀμήν.

Καθίσματα

Καθίσματα μετὰ τὴν α΄ στιχολογίαν

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ — Ἦχος δ΄

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας πανεύφημε· ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους, τὸ στέφος τῆς ἀθλήσεως, παρ᾽ αὐτοῦ δεξαμένη· ἀλλ᾽ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας ἐν πίστει τὴν μνήμην σου.

τῆς ἑορτῆς

Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Μηνολόγιον
2007 σ.198/1897*



Καθίσματα μετὰ τὴν β΄ στιχολογίαν

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἦχος δ΄

Οἱ ἀγῶνές σου σεμνὴ καὶ ὁ στέφανος, οἱ ἱδρῶτές σου ἁγνὴ καὶ τὰ θαύματα, τοῦ διαβόλου ᾔσχυναν τὰ τρόπαια· Χριστὸν γὰρ τὸν νυμφίον σου, ἐκ καρδίας ποθοῦσα, οὐ μάστιγας οὐ θάνατον, δι᾽ αὐτὸν ἐπτοήθης· ἀλλ᾽ ἀνετέθης ὅλη τῷ Θεῷ, τῆς εὐσεβείας φοροῦσα τὸν στέφανον.

τῆς ἑορτῆς

Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Μουσική Παρακλητική
2004 σ.121/630*



Ν' Ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλύνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντὸς.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.Κανόνες

Κανὼν τοῦ Σταυροῦ, ᾠδὴ α΄

Ὁ Κανών, ὃς τήνδε τὴν ἀκροστιχίδα φέρει.
Σταυρῷ πεποιθώς, ὕμνον ἐξερεύγομαι.
Ποίημα τοῦ Κυρίου Κοσμᾶ.

ὁ εἱρμὸς

Ἦχος λ ἡ Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Μηνολόγιον
2007 σ.167/1866#



βδω την Ε ρυ θραν δι ε τε με τω Ισ ρα ηλ πε ζευ σαν

τι ν την δε ε πι στρε πτι χως Φα ρα ω τοις

αρ μα σι χρο τη σας η νω σεν ρ επ ευ ρους δι α γρα

ψα ας το α ητ τη τον ο πλον ρ δι ο Χρι στω α σω

μεν ρ τω Θε ω η μων ο τι δε δο ξα σται ρ

Δ ο ξα σοι ο Θε ος η μων δο ξα σοι ρ

Τ ον τυ πον πα λαι Μω σης του α χραν του πα

θους εν ε αυ τω προ ε φη νε των ι ε ρων με σου

με νος ν σταυ ρω δε σχη μα τι σθεις τε τα με ναις

τρο παι ον πα λα μαις η γει ρε ρ το χρα τος δι ο λε

σα ας Α μα ληχ του πα νω λους δι ο Χρι στω α σω

μεν τω Θε ω η μων ο τι δε δο ξα σται

Δ ο ξα σοι ο Θε ος η μων δο ξα σοι

Δ νε θη κε Μω υ σης ε πι στη λης α

κος φθο ρο ποι ου λυ τη ρι ον και ι ο βο λου δη

γμα τος και ξυ λω τυ πω Σταυ ρου τον προς γην

συ ρο με νον ο φιν προσ ε δη σεν εγ καρ σι ον εν

του τω θρι αμ βευ σας το πη μα δι ο Χρι στω α

σω μεν τω Θε ω η μων ο τι δε δο ξα σται

Δ ο ξα σοι ο Θε ος η μων δο ξα σοι



Κανὼν τῆς ἁγίας, ᾠδὴ α΄

οὗ ἡ Ἀκροστιχίς.
Ἐγκωμιάζω τὴν πανεύφημον κόρην.
Ἄνευ τῶν Θεοτοκίων.
Ἰωάννου Μοναχοῦ.

Ἄσωμεν τῷ Κυρίῳ — ἦχος πλ.δ΄

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἕλκει πρὸς ὑμνωδίαν, τῶν ὑπερκοσμίων τὰ συστήματα, τῶν βροτῶν τὰς χορείας, ἡ πανεύφημος κόρη τοῖς θαύμασιν.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Γένος ὑπεριδοῦσα, καὶ τὴν ἐκ τοῦ πλούτου περιφάνειαν, ἡ σεπτὴ Εὐφημία, ἀντὶ πάντων Χριστὸν ἐπεκτήσατο.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Κάλλος ἐπιθυμήσας, τῆς ὡραιοτάτης σου πανεύφημε, ὁ Δεσπότης καρδίας, οὐρανίων θαλάμων ἠξίωσεν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα, ὑμνοῦμέν σε.

Κανὼν τοῦ Σταυροῦ, ᾠδὴ γ΄

ὁ εἱρμὸς

Ἦχος λ ἡ Νη

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Μηνολόγιον
2007 σ.169/1868#





Κανὼν τῆς ἁγίας, ᾠδὴ γ΄

Σὺ εἶ τὸ στερέωμα

ἦχος πλ.δ΄

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὤφθης ἐπὶ βήματος, ἀρρενωπὸν ψυχὴν φέρουσα, καὶ τὸν ἐχθρόν, ἀνδρικοῖς ἐν ἄθλοις, ἐτροπώσω πανεύφημε.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μῶμος ἐν τῷ κάλλει σου, οὐδὲ ῥυτὶς ψυχῆς πέφυκε· καὶ σὲ Χριστός, νύμφην ἀκηράτοις, ἐν νυμφῶσι προσήκατο.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἴασαι πανεύφημε, τοὺς τῆς ἐμῆς ψυχῆς μώλωπας, μάρτυς Χριστοῦ, θραῦσον σαῖς πρεσβείαις, τοῦ ἐχθροῦ τὰ σοφίσματα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Σὲ πάντες κεκτήμεθα, καταφυγὴν καὶ σκέπην ἡμῶν, χριστιανοί, σὲ δοξολογοῦμεν, ἀσιγήτως Θεόνυμφε.

Συναπτὴ

Ἔτι καὶ ἔτι...	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον...	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου...	Σοί, Κύριε.
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...	Ἀμήν.

Κάθισμα

Τὴν Σοφίαν καὶ Λόγον — ἦχος πλ.δ΄

Τῶν αἱμάτων σου ῥείθροις μάρτυς Χριστοῦ, ποντισμὸν ἀσεβείας διηνεκῶς, ἐργάζῃ πανεύφημε· ἐπομβρίαις δὲ χάριτος, λογικὰς ἀρούρας, ἀρδεύουσα πάνσεμνε, ἐν αὐταῖς αὐξάνεις, τὸν στάχυν τῆς πίστεως· ὅθεν παραδόξως μετὰ θάνατον ὤφθης, νεφέλη πηγάζουσα, τῆς ζωῆς τὸ μαρτύριον, ἀθλοφόρε πανεύφημε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

τῆς ἑορτῆς

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τὸν Σταυρὸν τοῦ Σωτῆρος ἀπὸ τῆς γῆς, κεκρυμμένον ἀνείλετο ἐν σπουδῇ, χαρᾶς τε ἐμπίπλησιν, οἰκουμένης τὰ πέρατα, καὶ τεμένη θεσπίζει, ὑψοῦσθαι ἐν Πνεύματι, καὶ τὸ σκῆπτρον κομίζει, ἐπὶ τὰ βασίλεια, ἡ σεπτὴ Ἑλένη, τῷ υἱῷ ἐκβοῶσα· Ὑφάπλωσον Δέσποτα, τὰς σὰς χεῖρας καὶ πρόσδεξαι, τὸν δεικνύμενον ἅπασι, κράτος σου καὶ νίκας σοφέ, καὶ τὰ ἔθνη δίδαξον ἐν χάριτι, προσκυνεῖν τὸν Σταυρὸν καὶ τὰ πάθη Χριστοῦ.

Κανὼν τοῦ Σταυροῦ, ᾠδὴ δ΄

ἦχος πλ.δ΄

«Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα».

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Πικρογόνους μετέβαλε, ξύλῳ Μωϋσῆς πηγὰς ἐν ἐρήμῳ πάλαι, τῷ Σταυρῷ πρὸς τὴν εὐσέβειαν, τῶν ἐθνῶν προφαίνων τὴν μετάθεσιν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ὁ βυθῷ κολπωσάμενος, τέμνουσαν ἀνέδωκεν Ἰορδάνης ξύλῳ, τῷ Σταυρῷ καὶ τῷ βαπτίσματι, τὴν τομὴν τῆς πλάνης τεκμαιρόμενος.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἱερῶς προστοιβάζεται, ὁ τετραμερὴς λαὸς προηγούμενος, τῆς ἐν τύπῳ μαρτυρίου σκηνῆς, σταυροτύποις τάξεσι κλεϊζόμενος.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Θαυμαστῶς ἐφαπλούμενος, τὰς ἡλιακὰς βολὰς ἐξηκόντισεν, ὁ Σταυρός· καὶ διηγήσαντο, οὐρανοὶ τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν.

Κανὼν τῆς ἁγίας, ᾠδὴ δ΄

Εἰσακήκοα Κύριε

ἦχος πλ.δ΄

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀκηλίδωτον ἔσοπτρον, θείων ἐννοιῶν σαυτὴν καταστήσασα, ὡς φωστὴρ ἀριπρεπέστατος, ἀθλητῶν ἐν μέσῳ, μάρτυς ἔλαμψας.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ζοφερῷ οὐ προσήνεγκας, δαίμονι θυσίαν, μάρτυς ἀήττητε· ζωηφόρον γὰρ ἠγάπησας, ὑπὲρ εὐσεβείας σπεῖσαι θάνατον.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ἀνάλγητον φέρουσα, σὺν τοῖς ἀθλοφόροις σῶμα ἡ ἄμεμπτος, ταῖς αἰκείαις ἀνεπαίσθητος, διετέλει θείας στοργῆς ἔρωτι.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τληπαθοῦν σου τὸ πρόσωπον, μάρτυς ταῖς βολαῖς λαμπρῶς ἐφαιδρύνετο, ἀστραπῇ δὲ θείου Πνεύματος, τῶν ἐχθρῶν ἠμαύρου τὴν διάνοιαν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἵλασμὸν ἡμῖν δώρησαι, τῶν ἀγνοημάτων ὡς ἀναμάρτητος, καὶ εἰρήνευσον τὸν κόσμον σου, ὁ Θεὸς πρεσβείαις τῆς τεκούσης σε.

Κανὼν τοῦ Σταυροῦ, ᾠδὴ ε΄

ἦχος πλ.δ΄

«Ὦ τρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστός, ὁ βασιλεὺς καὶ Κύριος· δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν».

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Σὲ τὸ ἀοίδιμον ξύλον, ἐν ᾧ ἐτάθη Χριστός, τὴν Ἐδὲμ φυλάττουσα, στρεφομένη ῥομφαία, Σταυρὲ ᾠδέσθη, τὸ φρικτὸν δὲ Χερουβίμ, εἶξε τῷ σοὶ παγέντι Χριστῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ὑποχθονίων δυνάμεις, ἀντίπαλοι τοῦ Σταυροῦ, φρίττουσι χαραττόμενον, τὸ σημεῖον ἐν ἀέρι ᾧ πολοῦσιν· οὐρανίων γηγενῶν, γένος δὲ γόνυ κάμπτει Χριστῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Μαρμαρυγαῖς ἀκηράτοις, φανεὶς ὁ θεῖος Σταυρός, ἐσκοτισμένοις ἔθνεσι, τοῖς ἐν πλάνῃ ἀπάτης τὸ θεῖον φέγγος, ἀπαστράψας οἰκειοῖ, τῷ ἐν αὐτῷ παγέντι Χριστῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Κανὼν τῆς ἁγίας, ᾠδὴ ε΄

Ὀρθρίζοντες βοῶμέν σοι — ἦχος πλ.δ΄

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡμέρας καὶ εἰρήνης ἀντίθετον, ἐπιγνοῦσα, στέργειν οὐκ ἠξίωσας τὸν φιλοπόλεμον δαίμονα.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νομίσας σου ἐκλύειν τὸν ἔνθεον, μάρτυς τόνον, γέλως ἀπεδείκνυτο, ταῖς μηχαναῖς ὁ παμπόνηρος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Παράσχου φωτισμὸν μοι πανεύφημε, καὶ εἰρήνην, λύουσα πρεσβείαις σου, τὴν πολυτάραχον ἄγνοιαν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε· σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ κόσμῳ ἐκύησας.

Κανὼν τοῦ Σταυροῦ, ᾠδὴ ς΄

ἦχος πλ.δ΄

«Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν

ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος, Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν κόσμον φωτίσαντος».

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ὁ γήρᾳ καμφθείς, καὶ νόσῳ τρυχωθείς, ἀνωρθοῦτο Ἰακὼβ χεῖρας ἀμείψας, τὴν ἐνέργειαν φαίνων τοῦ ζωηφόρου Σταυροῦ· τὴν παλαιότητα καὶ γάρ, τοῦ νομικοῦ σκιώδους, γράμματος ἐκαινογράφησεν, ὁ ἐν τούτῳ σαρκὶ προσπαγεὶς Θεός, καὶ τὴν ψυχόλεθρον νόσον, τῆς πλάνης ἀπήλασε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Νεαζούσαις θεὶς παλάμας, ὁ θεῖος Ἰσραήλ, σταυροειδῶς κάραις ἐδήλου, ὡς πρεσβύτερον κλέος ὁ νομολάτρης λαός· ὑποπτευθεὶς ὅθεν οὕτως ἐξηπατῆσθαι, οὐκ ἠλλοίωσε τὸν ζωηφόρον τύπον· ὑπερέξει λαὸς γὰρ Χριστοῦ τοῦ Θεοῦ, νεοπαγὴς ἀνεβόα, Σταυρῷ τειχιζόμενος.

Κανὼν τῆς ἁγίας, ᾠδὴ ς΄

Χιτῶνά μοι παράσχου — ἦχος πλ.δ΄

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνδρεῖον ἐν θηλείᾳ τῇ σαρκί, τῆς ψυχῆς τὸ φρόνημα, φέρουσα ἔνδοξε, τῶν ἐν ὕδασι θηρῶν κατεφρόνησας.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νενίκηκας τυράννων τὴν ὀφρύν, ἀσινὴς ἐν ὕδασι, μάρτυς ἀήττητε, σὺν θηρσὶν ὡς Ἰωνᾶς διαμείνασα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐρρύσατο θηρῶν διαφθορᾶς, ἐπακούσας Κύριος, σοῦ τῆς δεήσεως, ὡς ἐκ λάκκου Δανιήλ, σὲ πανεύφημε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἡ μόνη διὰ λόγου ἐν σαρκί, τὸν Λόγον κυήσασα, ῥῦσαι δεόμεθα, τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν.

Συναπτὴ

Ἔτι καὶ ἔτι…	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον…	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου…	Σοί, Κύριε.
Σὺ γὰρ εἶ ὁ βασιλεὺς…	Ἀμήν.

Κοντάκιον

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ — ἦχος δ΄

Ἐν τῇ ἀθλήσει σου καλῶς ἠγωνίσω, καὶ μετὰ θάνατον ἡμᾶς ἁγιάζεις, ταῖς τῶν θαυμάτων βλύσεσι πανεύφημε· ὅθεν σου τὴν κοίμησιν, τὴν ἁγίαν τιμῶμεν, πίστει παριστάμενοι, τῷ σεπτῷ σου λειψάνῳ, ἵνα ῥυσθῶμεν νόσων ψυχικῶν, καὶ τῶν θαυμάτων τὴν χάριν ἀντλήσωμεν.

Οἶκος

Τῆς πανευφήμου ὁ ναός, παράδεισος ἐδείχθη, ἐν μέσῳ κεκτημένος, φυτὸν ἀθανασίας, τὸ σῶμα ταύτης τὸ σεπτόν. Τούτου οἱ τρυγῶντες καρποὺς τοὺς εὐθαλεῖς, συντόμως ἁγιάζονται· ὁρῶντες δὲ θαυμάζουσιν, ὅτι πῶς τὸ νεκρὸν σῶμα, ὥσπερ ζῶν, ἀναβλυστάνει τὰ αἵματα, μυρίζοντα πάντας. Διὸ μετὰ σπουδῆς δεῦτε πάντες σὺν ἐμοὶ τῷ ταπεινῷ· καὶ καθαρθέντες μολυσμοῦ παντός, περιπτυξώμεθα τοῦτο, καὶ τῶν θαυμάτων τὴν χάριν ἀντλήσωμεν.

Συναξάριον

Τῇ ιϛ΄ τοῦ μηνὸς Σεπτεμβρίου, μνήμη τῆς ἁγίας μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας.

Ὑπὲρ Θεοῦ κτανθεῖσαν ἄρκτου ταῖς μύλαις,
Εὐφημίαις σε χρὴ στέφειν Εὐφημία.
Τῇ ἐκκαιδεκάτῃ Εὐφημίαν ἔκτανεν ἄρκτος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας μάρτυρος Μελιτηνῆς.

Μελιτηνή, τμηθεῖσα τὴν κάραν ξίφει,
Αἷμα προσῆγεν ὡς γλυκὺ Χριστῷ μέλι.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

Κανὼν τοῦ Σταυροῦ, ᾠδὴ ζ΄

ἦχος πλ.δ΄

«Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ᾽ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· ὁ ὑπερύμνητος, τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ».

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ξύλου γευσάμενος ὁ πρῶτος ἐν βροτοῖς, φθορᾷ παρῴκησε· ῥίψιν γὰρ ζωῆς ἀτιμοτάτην κατακριθείς, ὅλῳ τῷ γένει σωματοφθόρος τις, ὡς λύμη τῆς νόσου μετέδωκεν· ἀλλ᾽

εὑρηκότες γηγενεῖς ἀνάκλησιν, σταυροῦ τὸ ξύλον κράζομεν· ὁ ὑπερύμνητος, τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἔλυσε πρόσταγμα Θεοῦ παρακοή, καὶ ξύλον ἤνεγκε θάνατον βροτοῖς, τὸ μὴ εὐκαίρως μεταληφθέν· ἐν ἀσφαλείᾳ τῆς ἐριτίμου δέ, ἐντεῦθεν ζωῆς τὸ ξύλον εἴργετο, ὃ νυκτιλόχου δυσθανοῦς ἠνέῳξεν, εὐγνωμοσύνης κράζοντος· ὁ ὑπερύμνητος, τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ῥάβδου προσπτύσσεται τὸ ἄκρον, Ἰωσήφ, ὁ γενησόμενον, βλέπων, Ἰσραήλ, τῆς βασιλείας τὸ κραταιόν, ὅπως συνέξει ὁ ὑπερένδοξος σταυρὸς προδηλῶν· οὗτος γὰρ τοῖς βασιλεῦσι, τροπαιοῦχον καύχημα, καὶ φῶς τοῖς πίστει κράζουσιν· ὁ ὑπερύμνητος, τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Κανὼν τῆς ἁγίας, ᾠδὴ ζ΄

Οἱ ἐκ τῆς Ἰουδαίας

ἦχος πλ.δ΄

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπὲρ ἔννοιαν ὤφθη, τὰ τῶν θείων μαρτύρων ἀνδραγαθήματα· ὁ κτίστης γὰρ τῶν ὅλων, τὴν κτίσιν ὑποτάττει, τοῖς ἐν ἄθλοις κραυγάζουσιν· ὁ τῶν πατέρων ἡμῶν, Θεος εὐλογητὸς εἶ.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Φληναφοῦντα ἐμφράττει, ἡ ἀοίδιμος κόρη τυράννων στόματα, τερθρείαις παρανόμοις, ἐν Πνεύματι ἁγίῳ, θεϊκῶς ἀντιμέλπουσα. Ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ τριὰς τῶν ὁσίων, τοὺς ἐκκαύσαντας πάλαι φλέγει τὴν κάμινον· νυνὶ δὲ ἡ θεόφρων, Τριάδα ἀνυμνοῦσα, ὑπηρέτας ἐζώγρησε, τὸν τῶν πατέρων Θεόν, ὑμνοῦντας εἰς αἰῶνας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Μυστικῶς ὁ νυμφίος, πρὸς τὴν πάναγνον νύμφην, ἐν τῇ καμίνῳ μολών, τοῦ Πνεύματος τῇ δρόσῳ, Πατρὸς εὐδοκία, διεσώσατο ψάλλουσαν· ὁ τῶν πατέρων ἡμῶν, Θεός εὐλογητὸς εἶ.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Κανὼν τοῦ Σταυροῦ, ᾠδὴ η΄

ἦχος πλ.δ΄

«Εὐλογεῖτε παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας».

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ὑψουμένου ξύλου, ῥαντισθέντος ἐν αἵματι, τοῦ σαρκωθέντος Λόγου Θεοῦ, ὑμνεῖτε αἱ τῶν οὐρανῶν δυνάμεις, βροτῶν τὴν ἀνάκλησιν ἑορτάζουσαι· λαοὶ προσκυνεῖτε Χριστοῦ τὸν σταυρόν, δι᾽ οὗ τῷ κόσμῳ ἀνάστασις εἰς τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Γηγενεῖς παλάμαις, οἰκονόμοι τῆς χάριτος, σταυρὸν οὗ ἔστη Χριστὸς ὁ Θεός, ὑψοῦτε ἱεροπρεπῶς καὶ λόγχην, Θεοῦ Λόγου σῶμα ἀντιτορήσασαν. Ἰδέτωσαν ἔθνη πάντα τὸ σωτήριον, τοῦ Θεοῦ δοξάζοντα εἰς τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Οἱ τῇ θείᾳ ψήφῳ, προκριθέντες ἀγάλλεσθε, χριστιανῶν πιστοὶ βασιλεῖς· καυχᾶσθε τῷ τροπαιοφόρῳ ὅπλῳ, λαχόντες θεόθεν, Σταυρὸν τὸν τίμιον· ἐν τούτῳ γὰρ φῦλα πολέμων, θράσος ἐπιζητοῦντα, σκεδάννυνται εἰς τοὺς αἰῶνας.

Κανὼν τῆς ἁγίας, ᾠδὴ η΄

Τὸν βασιλέα

ἦχος πλ.δ΄

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὀλβιωτάτη ἐν γυναιξὶ τοῦ Ὑψίστου, ἀντὶ φερνῆς ἔχουσα τὴν χάριν, ἔψαλλες ὑμνοῦσα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νενευρωμένη τὸν λογισμὸν τοῦ νυμφίου, τῷ ἀΰλῳ ἔρωτι τὸ σῶμα, δέδωκας θανάτῳ, καὶ ζῇς εἰς τοὺς αἰῶνας.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Κατὰ τῆς πλάνης ὥσπερ θηρὸς ὁπλισθεῖσα, τῷ ἁγίῳ Πνεύματι ἡ μάρτυς, ἤρατο βραβεῖα, εἰς πάντας τοὺς αἰῶνας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Οὐ ψυχοφθόρον μόρον εἵλου, εὐθαρσῶς δέ, τοῦ θηρὸς τῷ δήγματι ἀγήρω, ἄμεμπτε ἠλλάξω, ζωὴν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε Κόρη εἰς αἰῶνας.

Κανὼν τοῦ Σταυροῦ, ᾠδὴ θ΄

κανὼν α΄ ἦχος πλ.δ΄

«Μυστικὸς εἶ Θεοτόκε παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον· δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν σὲ μεγαλύνομεν».

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἀγαλλέσθω τὰ δρυμοῦ ξύλα σύμπαντα, ἁγιασθείσης τῆς φύσεως αὐτῶν, ὑφ᾽ οὗ περ ἐξ ἀρχῆς, ἐφυτεύθη Χριστοῦ, τανυθέντος ἐν ξύλῳ· δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦμεν αὐτὸν καὶ μεγαλύνομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἱερὸν ἠγέρθη κέρας θεόφροσι, τῆς κεφαλῆς τῶν ἁπάντων ὁ Σταυρός, ἐν ᾧ ἁμαρτωλῶν νοουμένων, συνθλῶνται τὰ κέρατα πάντα, δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦμεν αὐτὸν καὶ μεγαλύνομεν.

κανὼν β΄ ἦχος πλ.δ΄

«Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς γὰρ προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος, ἣν πᾶσαι αἱ δυνάμεις, τῶν οὐρανῶν μεγαλύνουσι».

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Μὴ τὴν πικρίαν τὴν τοῦ ξύλου, ἐάσας ἀναιρέσιμον Κύριε, διὰ Σταυροῦ τελείως ἐξήλειψας· ὅθεν καὶ ξύλον ἔλυσε ποτέ, πικρίαν ὑδάτων Μερρᾶς, προτυποῦν τοῦ Σταυροῦ τὴν ἐνέργειαν· ἣν πᾶσαι αἱ Δυνάμεις, τῶν οὐρανῶν μεγαλύνουσιν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἀδιαλείπτως βαπτομένους, τῷ ζόφῳ τοῦ προπάτορος Κύριε, διὰ Σταυροῦ ἀνύψωσας σήμερον· ὡς γὰρ τῇ πλάνῃ ἄγαν ἀκρατῶς, ἡ φύσις προκατηνέχθη, παγκλήρως ἡμᾶς πάλιν ἀνώρθωσε, τὸ φῶς τὸ τοῦ Σταυροῦ σου· ὃν οἱ πιστοὶ μεγαλύνομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἵνα τὸν τύπον ὑποδείξῃς, τῷ κόσμῳ προσκυνούμενον Κύριε, τόν τοῦ Σταυροῦ ἐν πᾶσιν ὡς ἔνδοξον, ἐν οὐρανῷ ἐμόρφωσας, φωτὶ ἀπλέτῳ ἠγλαϊσμένον, βασιλεῖ πανοπλίαν ἀήττητον· ἣν πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσιν.

Κανὼν τῆς ἁγίας, ᾠδὴ θ΄

Σὲ τὴν ἀπειρόγαμον ἦχος πλ.δ΄

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥύσις ζῶντος αἵματος, τεκμήριον τῆς ἀκηράτου, σοὶ δεδωρημένης ἄνωθεν, ζωῆς μάρτυς πανεύφημε· τῶν γὰρ ἰαμάτων, θησαυρὸς ἀδιάλειπτος, τοῖς ἐν πίστει ἀρυομένοις ἀναδέδειξαι.

Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἥψατό σου θάνατος, θεόφρον φύσεως τῷ νόμῳ· τὴν δὲ ζωηφόρον νέκρωσιν, ἀπαθῶς ἀμφιέννυσαι, ᾗ ὡς ψυχικόν σου σῶμα θεῖσα τὸ πάναγνον, ζῇς ἀφθάρτως, καὶ μαρτυρεῖ σου τὰ αἱμόρρυτα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Νόμοις τῆς ἀθλήσεως, στεφθεῖσα μάρτυς χριστοκήρυξ, τόμον εὐσεβῶς πεπίστευσαι, Εὐφημία δογμάτων σεπτῶν· ὃν ἐκ χειρῶν συνοδικῶν, στήλη κατέχουσα, ὥσπερ ζῶσα, ὀρθοδοξίας ἐπιδείκνυσαι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Νύμφη ἀπειρόγαμε, τὸ σκεῦος τὸ τῆς εὐωδίας, σὲ ὡς ἀληθῆ καὶ ἄμωμον, καὶ ἀΰλου νεφέλην φωτός, τὴν εἰσδεξαμένην τὸν οὐράνιον ὄμβρον ἐν τῇ νηδύϊ, Παρθενομῆτορ μεγαλύνομεν.

Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

Καταβασίαι εἰς τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ

1/8, 6-13/8, 24/8-21/9

ἦχος πλ.δ΄

α Σταυρὸν χαράξας Μωσῆς, ἐπ᾽ εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ᾽ εὔρους διαγράψας τὸ ἀήττητον ὅπλον. Διὸ Χριστῷ ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

γ Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα. Τῇ στειρευούσῃ δὲ πρῴην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

δ Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

ε Ὦ τρισμακάριστον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ βασιλεὺς καὶ Κύριος, δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

ς Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας, Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς. Ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον

ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

ζ Ἔκνοον πρόσταγμα τυράννου, δυσσεβοῦς λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ᾽ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον, ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

η Εὐλογεῖτε παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν πατέρα Θεόν, ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Σύντομοι		Ἀργαὶ
Ἰωάννου Πρωτοψάλτου	Κωνσταντίνου Παπαγιάννη	Πέτρου Λαμπαδαρίου

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Λουκᾶ κεφ. 1 — Ἦχος πλ.δ΄

∴ Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. 46-47

∴ Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. 48

∴ Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. 49-50

∴ Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. 51

∴ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. 52-53

∴ Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. 54-55

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Πέτρου τοῦ Πελοποννησίου	Κωνσταντίνου Παπαγιάννη

Καταβασία θ΄ ᾠδῆς

ἦχος πλ.δ΄

Μυστικὸς εἶ Θεοτόκε παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. Δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν σὲ μεγαλύνομεν.

Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς γὰρ προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος, ἣν πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσιν.

Σύντομος	Ἀργὴ
Ἰωάννου Πρωτοψάλτου	Ἰωάννου Πρωτοψάλτου
Κωνσταντίνου Παπαγιάννη	Κωνσταντίνου Παπαγιάννη

Συναπτὴ

Ἔτι καὶ ἔτι…	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον…	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου…	Σοί, Κύριε.
Ὅτι σὲ αἰνοῦσι…	Ἀμήν.

Ἐξαποστειλάρια

Τῶν μαθητῶν — ἦχος β΄ — τῆς ἁγίας

Τῆς πανευφήμου μάρτυρος Εὐφημίας, τὴν μνήμην συνελθόντες ἀνευφημοῦμεν· αὕτη γὰρ τὸν ὅρον ὀρθοδοξίας, ἐκ τῶν πατέρων εἴληφε, καὶ τοῦτον διατηροῦσα, τούς ὀρθοδόξους λαμπρύνει.

Τῶν μαθητῶν — ἦχος β΄ — τῆς ἑορτῆς

Σταυρὸς τοῦ κόσμου πέφυκε σωτηρία· σταυρός, ἁγίων πάντων ἡ βακτηρία, σταυρός, βασιλέων τὸ στερέωμα· σταυρός, πιστῶν ὀχύρωμα, σταυρός, ἀνθρώπων ἡ ῥῶσις, σταυρός, δαιμόνων ἡ πτῶσις.

χοροστατοῦντος ἀρχιερέως

Ἦχος λ π ο Νη

π. Ἱεροθέου Ἱερομονάχου
Αθωνική Μουσική Ανθοδέσμη
Εσπερινός 1991 σ.97#



Αἶνοι

ἦχος γ΄

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον· αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Πέτρου Λαμπαδαρίου	Ἰακώβου Πρωτοψάλτου	Ἰωάννου Πρωτοψάλτου
Κωνσταντίνου Πρίγγου		Γαβριήλ Κουντιάδου
Ἀθανασίου Καραμάνη	Κωνσταντίνου Παπαγιάννη	Ἐλευθερίου Γεωργιάδη
Γεωργίου Πρωγάκη	☜ Τὸν δεσπότην...☞	Δημοσθένους Παϊκοπούλου
	Ἄνωθεν οἱ προφῆται	

Στιχολογία

ψαλμὸς ρμη΄ 148

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.
Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.
Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.
Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.
Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ψαλμὸς ρμθ΄ 149

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.
Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ψαλμὸς ρν΄ 150

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Κωνσταντίνου Παπαγιάννη

ἦχος γ΄

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἀθλητικὴν πανήγυριν πιστοί, θεοφρόνως τελουμένην θεώμενοι, τῷ θαυμαστῷ ἐν βουλαῖς Θεῷ ἡμῶν, εὐχαριστήριον ὕμνον μελῳδήσωμεν· τὸ γὰρ ἀόρατον κράτος, τῆς ἐναντίας δυνάμεως, ἐν γυναικείᾳ φύσει κατηγωνίσατο, τὴν θεῖαν ἑαυτοῦ δύναμιν ἐν ἀσθενείᾳ, τελειώσας τῆς καλλιμάρτυρος. Ταῖς αὐτῆς πρεσβείαις, σῶσον τάς ψυχὰς ἡμῶν.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἀληθείας κρατῆρα, ἐξ οἰκείων αἱμάτων ἀθλητικῶν, ἡ πανεύφημος μάρτυς Χριστοῦ κερασαμένη, καὶ τοῦτον ἀενάως τῇ Ἐκκλησίᾳ προτιθεμένη, ἐν αὐτῇ τοὺς τῆς εὐσεβείας τροφίμους, σοφίας φωνῇ προτρέπεται λέγουσα· Ἀρύσασθε πόμα, τῆς ἀναστάσεως μαρτύριον, παθῶν καθαρτήριον, εὐσεβῶν δὲ ψυχῶν φυλακτήριον, τῷ Σωτῆρι κράζοντες· ὁ ποτίσας ἡμᾶς τὸν χειμάρρουν τῆς τρυφῆς τοῦ πνεύματος, σῶσον τὰς ψυχὰς ἡμῶν.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Οἱ τῷ αἵματι Χριστοῦ τὰς ψυχὰς σφραγισθέντες, εἰς ἡμέραν ἀπολυτρώσεως, αἷμα ἅγιον, ἐκ μαρτυρικῆς πηγῆς ἀναβλύζον ἡμῖν, μετ᾽ εὐφροσύνης πνευματικῆς προφητικῶς ἀντλήσωμεν, τῶν ζωηρύτων παθημάτων τοῦ Σωτῆρος, καὶ τῆς ἀϊδίου δόξης μορφωτικόν· διὸ αὐτῷ βοήσωμεν· ὁ ἐνδοξαζόμενος ἐν τοῖς ἁγίοις σου Κύριε, ταῖς τῆς πανευφήμου σου ἀθληφόρου πρεσβείαις, σῶσον τὰς ψυχὰς ἡμῶν.

Σωτηρίου Ἀρβανίτη

Δοξαστικὸν

ἦχος πλ.β΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος, παρέστη ἡ παρθένος καὶ ἀθληφόρος καὶ μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ βοῶσα πρὸς αὐτὸν ἐν ἀγαλλιάσει, τὴν λαμπάδα κατέχουσα. Εἰς ὀσμὴν μύρου σου ἔδραμον, Χριστὲ ὁ Θεός, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ, μὴ χωρίσῃς με νυμφίε ἐπουράνιε. Αὐτῆς ταῖς ἱκεσίαις κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Στεφάνου Λαμπαδαρίου — Παναγιώτου Κηλτζανίδου — Κωνσταντίνου Πρίγγου

Ἀθανασίου Καραμάνη — Κωνσταντίνου Παπαγιάννη

Καὶ νῦν

ἦχος πλ.β΄

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Σήμερον τὸ φυτὸν τῆς ζωῆς, ἐκ τῶν τῆς γῆς ἀδύτων ἀνιστάμενον, τοῦ ἐν αὐτῷ παγέντος Χριστοῦ, πιστοῦται τὴν ἀνάστασιν· καὶ ἀνυψούμενον χερσὶν ἱεραῖς, τήν αὐτοῦ πρὸς οὐρανοὺς καταγγέλλει ἀνύψωσιν· δι᾽ ἧς τὸ ἡμέτερον φύραμα, ἐκ τῆς εἰς γῆν καταπτώσεως, εἰς οὐρανοὺς πολιτεύεται· διὸ εὐχαρίστως βοήσωμεν· Κύριε, ὁ ὑψωθεὶς ἐν αὐτῷ, καὶ δι᾽ αὐτοῦ συνανυψώσας ἡμᾶς, τῆς οὐρανίου χαρᾶς ἀξίωσον τοὺς ὑμνοῦντάς σε.

Στεφάνου Λαμπαδαρίου | Παναγιώτου Κηλτζανίδου | Κωνσταντίνου Παπαγιάννη

Δοξολογία

Δόξα σοι τῷ δείξαντι τὸ φῶς, δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. (γ΄)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός.

Ἅγιος ἰσχυρός.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Σύντομοι		Ἀργαὶ
Πέτρου Λαμπαδαρίου	ἦχος πλ.β	Γεωργίου Βιολάκη
Μανουήλ Πρωτοψάλτου		Γεωργίου Ραιδεστηνοῦ
Μιχαὴλ Χατζηαθανασίου		
Γαβριήλ Κουντιάδου		

Ἀπολυτίκιον ἁγίας Εὐφημίας

Ταχὺ προκατάλαβε — ἦχος δ΄

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοι· καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ᾽ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κωνσταντίνου Παπαγιάννη

ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.
Ἀμήν.

Ἦχος λ π ἡ Νη

Δημητρίου Σουρλαντζή
Θ. Λειτουργία 1992 σ.1*



NH
K υ ρι ε ε λε ε ε η σον
NH ΔΙ
K υ ρι ε ε λε ε ε η σον
NH
K υ ρι ε ε λε ε ε η σον
NH
K υ ρι ε ε λε ε ε η σον
NH
K υ ρι ε ε λε ε ε η σον
NH
K υ ρι ε ε λε ε η σον
NH
K υ ρι ε ε ε λε η σον
NH
K υ ρι ε ε λε η σον
NH ΠΑ
K υ ρι ε ε λε ε η σον

ἕτερα



Τυπικά

Ἀγιορείτικης Παραδόσεως ὑπό Λυκούργου Ἀγγελοπούλου	Πατριαρχικῆς Παραδόσεως ὑπό Δημοσθένους Παϊκοπούλου

Ἀντίφωνα

ἀντίφωνον α΄

Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.282

∴ Ὁ Θεός μου πρόσχες μοι, ἵνα τὶ ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. 21:2

∴ Ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. 21:3

∴ Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. 21:8

∴ Περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με. 21:13

Πέτρου Λαμπαδαρίου

Ἦχος Δι

Πανδέκτη
1851 σ.26#





Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.



Συναπτὴ

Ἔτι καὶ ἔτι…	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον…	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου…	Σοί, Κύριε.
Ὅτι σὸν τὸ κράτος…	Ἀμήν.

ἀντίφωνον β′ — Ἦχος Δι — πρωτ.Κων.Παπαγιάννη Αντιφωνάριον 2009 σ.282

∴ Ἵνα τὶ ὁ Θεὸς ἀπώσω εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; 73:1
∴ Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς. 73:2
∴ Ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ. 73:2
∴ Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. 73:12

Πέτρου Λαμπαδαρίου — Ἦχος Δι



Πανδέκτη, 1851 σ.11#↴


Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Ο Μο νο γε νης Υι ος και Λο γος του Θε ου α θα
να τος υ παρ χων και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι αν σαρ κω θη ναι εκ της Α
γι ας Θε ο το κου και α ει παρ θε νου Μα ρι
ας α τρε πτως εν αν θρω πη σας σταυ ρω θεις τε Χρι
στε ο Θε ος θα να τω θα να τον πα τη σας εις ων



Συναπτὴ

Ἔτι καὶ ἔτι…	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον…	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου…	Σοί, Κύριε.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος…	Ἀμήν.

ἀντίφωνον γ′

Ἦχος ⲡ̀ Πα

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.282

∴ Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, σαλευθήτω ἡ γῆ. 98:1

∴ Κύριος ἐν Σιὼν μέγας καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς. 98:2

∴ Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι. 98:3

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Στεφάνου Λαμπαδαρίου	Παναγιώτου Κηλτζανίδου	Χρυσοστόμου μοναχοῦ
Κωνσταντίνου Πρίγγου	Θρασυβούλου Στανίτσα	Κωνσταντίνου Παπαγιάννη

Εἰσοδικὸν

Ἦχος Δι



Ἀπολυτίκια

τῆς ἑορτῆς

ἦχος α΄

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα..

Στεφάνου Λαμπαδαρίου	Παναγιώτου Κηλτζανίδου	Χρυσοστόμου μοναχοῦ
Κωνσταντίνου Πρίγγου	Θρασυβούλου Στανίτσα	Κωνσταντίνου Παπαγιάννη

τῆς ἁγίας

Ταχὺ προκατάλαβε ἦχος δ΄

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σὲ νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου· καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοι· καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί· ἀλλ᾽ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. Αὐτῆς πρεσβείαις, ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Κωνσταντίνου Παπαγιάννη

τοῦ ἁγίου τοῦ ναοῦ

Κοντάκιον εἰς τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ

ἦχος δ΄

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Γεωργίου Πρωγάκη | Κωνσταντίνου Πρίγγου | Κωνσταντίνου Παπαγιάννη

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Τρισάγιος Ὕμνος

Γεωργίου Πρωγάκη Ι	ἦχος β΄	Γαβριὴλ Κουντιάδου
Γεωργίου Πρωγάκη ΙΙ		Ἱεροθέου ἱεροδιακόνου
Κύριε σῶσον τοὺς εὐσεβεῖς καὶ ἐπάκουσον ἡμῶν.		

Ἀπόστολος

Προκείμενον. Ἦχος πλ.δ΄. Ψαλμὸς ξζ΄.
Πρόσχωμεν
∴ Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ εὐλογητὸς ὁ Θεός. ξξ΄26

∴ Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, τὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ. ξξ'27

Σοφία

Πρὸς Κορινθίους β΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. 6:1-10

Πρόσχωμεν

Ἀδελφοί, συνεργοῦντες παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς. Λέγει γάρ· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· ἰδοὺ, νῦν καιρὸς εὐπρόσδεκτος· ἰδοὺ, νῦν ἡμέρα σωτηρίας. Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἀλλ᾽ ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ· διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς· ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνῄσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι· ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

Εἰρήνη σοι.

Ἦχος ⸗ Πα

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.74#



τὸ τέλος

∴ Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου. 39:2

∴ Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος. 39:3

Εὐαγγέλιον

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. 7:36-50

Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

Τῷ καιρῷ ἐκείνῳ, ἠρώτα τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ᾽ αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη. 37Καὶ ἰδοὺ, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, 38καὶ στᾶσα ὀπίσω, παρὰ τοὺς πόδας αὐτοῦ, κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι· καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ. 39Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, λέγων· Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν, τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. 40Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. Ὁ δέ φησί· Διδάσκαλε, εἰπέ. 41Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. 42Μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο· Τίς οὖν αὐτῶν, εἰπέ, πλεῖον ἀγαπήσει αὐτόν; 43Ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπεν· Ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. Ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας. 44Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· Βλέπεις ταύτην τὴν γυναῖκα; Εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. 45Φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ, ἀφ᾽ ἧς εἰσῆλθεν, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. 46Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ, μύρῳ ἤλειψέ μου τοὺς πόδας. 47Οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. 48Εἶπε δὲ αὐτῇ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι. 49Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· Τίς οὗτός ἐστιν, ὃς καὶ ἁμαρτίας ἀφίησιν; 50Εἶπε δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.

Πέτρου Λαμπαδαρίου

Ἦχος ⸗ Δι

Γεωργίου Πρωγάκη
Μουσική συλλογή
Λειτουργία 1909 σ.59/733*





Ἑκτενὴς δέησις

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν· εἴπωμεν.
Κύριε, ἐλέησον.
Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε, ἐλέησον.
Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τῶν πρεσβυτέρων, τῶν διακόνων καὶ τῶν μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων σου, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει καὶ τῇ ἐνορίᾳ ταύτῃ, τῶν ἐπιτρόπων καὶ συνδρομητῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης, σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκνοις αὐτῶν.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων.
Κύριε, ἐλέησον. (γ΄)
Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τῶν ἀπεκδεχομένων τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.
Κύριε ἐλέησον.
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.
Κύριε, ἐλέησον.
Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.
Κύριε, ἐλέησον.
Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.
Κύριε, ἐλέησον.
Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.
Κύριε, ἐλέησον.
Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.
Κύριε, ἐλέησον.
Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεὸς τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.
Σοί, Κύριε.
Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε. Μή τις τῶν κατηχουμένων.

Λειτουργία τῶν πιστῶν

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Σοφία.
Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Σοφία!

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Χερουβικὸν ἦχος α΄

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσάδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν. Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα.

380	Πέτρου Λαμπαδαρίου	500	Γαβριὴλ Κουντιάδου
543	Πέτρου Ἐφεσίου	283	Θρασυβούλου Στανίτσα
460	Θεοδώρου Φωκαέως	345	Γεωργίου Καρακάση
388	Κωνσταντίνου Πρωτοψάλτου	305	Δοσιθέου Κατουνακιώτου
329	Ἰωάσαφ Διονυσιάτου	267	Δημητρίου Σουρλαντζῆ
623	Παναγιώτου Κηλτζανίδου	295	Κωνσταντίνου Παπαγιάννη
327	Ἀλεξάνδρου Βυζαντίου	214	Ἐλευθερίου Γεωργιάδη
317	Ἐμμανουὴλ Φαρλέκα	343	Κωνσταντίνου Λάμπρου

Λειτουργικὰ

Βασιλείου Νικολαΐδου	τὰ κατὰ παράδοσιν	Μιχαὴλ Χατζηαθανασίου
Δημητρίου Σουρλαντζῆ		Κωνσταντίνου Παπαγιάννη
Γεωργίου Καρακάση		Ἐλευθερίου Γεωργιάδη

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.
Κύριε, ἐλέησον.
Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.
Καὶ πάντων καὶ πασῶν.
Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων ὑμῶν.

Καὶ μετὰ τοῦ πνεύματός σου.
Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
